# 0345-0407 - Iohannes Chrysostomus - Caritatem secundum deum rem esse deo digna

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 288 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Caritatem secundum deum rem esse deo digna

[00001] Ὅτι θεοπρεπὲς ἔργον ἡ κατὰ Θεὸν ἀγάπη ἐστί.

61.681

[00002] Ἀγάπην τὴν οὐρανοκλίμακα λόγος οὐδεὶς κατ' ἀξίαν ὑμνῆσαι δύναται.

[00003] Ἀγάπη τοῦ Πατρὸς σύνθρονός ἐστιν, ἀγάπη τὰ ἐπίγεια συνάπτει πρὸς τὰ οὐράνια·

[00004] περὶ ἧς γλῶττα οὐκ ἐπαρκέσει, οὔτε νοῦς ἐξευρήσει ἐπαξίως δοξάσαι·

[00005] τὸ δὲ ἔργον αὐτὸ δεικνύει ἡγεμόνα οὖσαν τῆς ἀρίστης πολιτείας τὴν ἀγάπην.

[00006] Τῇ γὰρ δημιουργίᾳ τοῦ Θεοῦ αὕτη τελείαν περιβάλλει εὐπρέπειαν·

[00007] αὕτη τῶν πολλῶν εἰς ἑνότητα παιδαγωγὸς, ἡ πρὸς ὁμοιότητα τοῦ ἑνὸς καὶ τοῦ ἁγίου κάλλους τὰ πλήθη τῶν ἀνθρώπων ἐξεικονίζουσα ἀγγέλους καὶ ἀνθρώπους.

[00008] Μία γὰρ οὖσα μορφὴ πᾶσαν λογικὴν φύσιν μορφοῖ εἰς τὴν τοῦ Θεοῦ ὁμοιότητα·

[00009] οὐ τοῖς ἀπαλλοτριουμένοις ἀπ' αὐτοῦ, ἀλλὰ τοῖς ὑπ' αὐτοῦ γενησομένοις καὶ συγκεκραμένοις ἐπαναπαύεται.

[00010] Πλείους μὲν ὄντες εἰς μίαν οἱ πάντες νενευκότες συμφωνίαν, κάλλιστόν τι καὶ τερπνὸν ἐφ' ἑαυτοῖς ἁρμονίαν ἐκφαίνουσιν.

[00011] Οὕτω τὰ διὰ τοῦ ἁγίου Πνεύματος πολλὰ καὶ διάφορα ἐνεργήματα, πρὸς μίαν καὶ ἀγαθὴν ὁμοφροσύνην συναγόμενα, θεοειδέστατον καὶ θεοπρεπέστατον κάλλος ἐκφαίνει, τιμιώτατον Θεῷ καὶ τῆς ἁγίας εὐφροσύνης ἄξιον τῆς παρὰ τῷ Δημιουργῷ.

[00012] Διὰ τὴν ἀγάπην τὴν πρὸς ἀνθρώπους καταβέβηκεν ὁ Θεὸς ἐπὶ τῆς γῆς, καὶ μετὰ τῶν ἀνθρώπων συνανεστράφη, οὐκ ἐν ἀποκρύφῳ καὶ ἀφωρισμένῳ, καθάπερ πρότερον, ἁγιάσματι προσκυνούμενος, ἀλλ' ὁμόσκηνος ἀνθρώποις εἰς ὁμοιότητα καὶ συνδιατριβὴν ἡμετέραν κατελθὼν, ἵνα εἰς τὴν ἑνὸς Πνεύματος οἰκειότητα πάντας προσαγόμενος, ὥσπερ ἓν σῶμα καὶ ἓν πνεῦμα κατασκευάσῃ.

[00013] Ὑπηρέτις οὖσα τοῦ Κυρίου καὶ τοῦ Πνεύματος ὑπουργὸς ἡ θεία ἀγάπη, τὰ διεστῶτα συνάγει, τὰ ἀπηλλοτριωμένα οἰκειοῖ.

[00014] Ὢ Χριστοῦ θαυμάσιον ἔργον, ἡ ἀγάπη! ὢ κόσμου σωτηρίας μυστήριον! Δι' ἀγάπην ἀποστέλλει ὁ Πατὴρ καὶ Θεὸς εἰς τὸν κόσμον τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ·

[00015] Ὁ Χριστὸς γὰρ, φησὶν, ἠγάπησε τὴν Ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς·

[00016] ἀγάπη τοὺς ὑπὲρ τοῦ πλησίον πόνους ἡδέως φέρει, δι' ἀγάπην δοῦλοι ἀλλήλων εἶναι κελευόμεθα·

[00017] Διὰ γὰρ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις·

[00018] ἀγάπη τὰς ἰδίας ἑνὸς ἑκάστου κτήσεις κοινὰς ἁπάντων ἐργάζεται·

[00019] ἀγάπη δεικνύει σοι τὸν πλησίον, ὡς ἑαυτὸν, καὶ φέρει ἁμαρτήματα, ὡς καὶ τὰ ἑαυτοῦ.

[00020] Ὀλίγα μὲν ὀργισθήσῃ, πλεῖστα δὲ μακροθυμήσεις.

[00021] Δι' ἀγάπην αὐξάνεται ἡ ποίμνη τοῦ Χριστοῦ·

[00022] ἀγάπη φονικοὺς πραΰνει θυμοὺς, ὅπλα πολεμίων ἀμβλύνει, καὶ λήθην πολεμίων ἐντίθησιν ἁπάντων, καὶ τὴν εἰρηνικὴν πολιτείαν Χριστοῦ τῷ κόσμῳ εἰσάγει.

[00023] Οὐ λήψεται γὰρ ἔθνος ἐπὶ ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν.

[00024] Διὰ τοῦτο, Ἀνατελεῖ, φησὶν, ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη [61.682] καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη·

[00025] Λαμπρὸς δὲ καὶ ὁ τύπος τῆς εἰρηνικῆς πολιτείας.

[00026] Ὢ τῆς μακαρίας εἰρήνης ἀρχηγὸς ἀγάπη! ἡ τὸν ἐχθρὸν καὶ πολέμιον ἐν ἀνθρώποις ἀπελαύνουσα δαίμονα, δι' ἧς στένει μὲν ὁ διάβολος ἐπ' ἀνθρώποις εἰρηνικοῖς, συνήδονται δὲ ἄγγελοι τῆς ἑαυτῶν εἰρήνης εἰκόνα ἐν ἀνθρώποις ὁρῶντες, φαιδροὶ πρὸς ἀλλήλους ἡμεῖς ἐσμεν, καὶ πάσης εὐθυμίας

μεῖζον ἀδελφὸς ὀφθεὶς ἀδελφῷ.

[00027] Παρακαλεῖσθαι γοῦν ἐπὶ ταῖς θλίψεσι φησὶν ὁ Παῦλος ἐπὶ τῇ παρουσίᾳ Τίτου·

[00028] ὅτε δὲ οὐ πάρεστιν, οὐκ ἔχει ἄνεσιν τῷ πνεύματι.

[00029] Ἀγάπη Θεοῦ, καὶ ἀδελφῶν ἀγάπη, δύο ἀχώριστα.

[00030] Καὶ ταύτην, φησὶν ὁ Ἰωάννης, ἐντολὴν ἔχομεν παρὰ τοῦ Θεοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

[00031] Τοῦτο γὰρ εἶπε καὶ τῷ Πέτρῳ·

[00032] Εἰ ἀγαπᾷς με, βόσκε τὰ πρόβατά μου.

[00033] Τουτέστι, Δεῖξον τὴν πρὸς τὸν ποιμένα ἀγάπην,

[00034] Επιτρέπετα

[00035] τῶν προβάτων διὰ σπουδῆς προνοούμενος.

[00036] Ποῖον οὕτω τεῖχος ἀῤῥαγὲς, ἁρμονίαις λίθων εὐμεγεθῶν ὠχυρωμένον, καὶ πολεμίων ἀποτρέπον ἐφόδους, οἷον ἁγίων σύστημα ἡρμοσμένον τοῖς τῆς ἀγάπης δεσμοῖς, καὶ τὰς τοῦ διαβόλου πείρας (sic);

[00037] τίς δὲ φυτῶν εὐπρέπεια τοιαύτη κατὰ στίχον πεφυτευμένων, ἢ στρατιᾶς εὐάρμοστος σύνταξις ἐν κόσμῳ καὶ τάξει εὐπρεπεῖ προϊοῦσα;

[00038] Ταῦτα γὰρ παρέχει τέρψιν·

[00039] τερπνότερον δὲ καὶ ἡδύτερον πάντων, τῶν ἐν ἀγάπῃ συνηρμοσμένων ἀλλήλοις ἡ κατὰ τὴν φυσικὴν ἁρμονίαν εὐπρέπεια;

[00040] αὕτη γὰρ ἐν ὀφθαλμοῖς Κυρίου σεμνὴ καὶ ἔντιμος φαίνεται.

[00041] Ἄκουε τοῦ Δαυῒδ, μᾶλλον δὲ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος·

[00042] Ἰδοὺ τί, φησι, τί καλὸν, ἢ τί τερπνόν;

[00043] οὐδὲν ἕτερον, οὐδὲν ἄλλο τῶν ἐπὶ τῆς γῆς, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό·

[00044] ὡς μύρον ἐκκενωθὲν ἐπὶ κεφαλήν.

[00045] Ἄγγελοι τοὺς ἡμετέρους χοροὺς περιχορεύουσι, καὶ εὐφραίνονται ἐφ' ἡμῖν, ὅτι τὴν αὐτῶν διαγωγὴν μιμούμεθα.

[00046] Εἰ γὰρ ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ ἐν οὐρανῷ γίνεται, κατὰ τὸν τοῦ Κυρίου λόγον, πολλῷ μᾶλλον ἐπὶ τοσούτῳ πλήθει σωζομένων.

[00047] Ἡ γὰρ τοῦ μέλλοντος αἰῶνος εὐφροσύνη ἀπεντεῦθεν φαίνεται, τῷ μὲν διαβόλῳ πένθος, δαιμόνων λικμητήριον, ὅτε χοροὺς συνεστήκαμεν ἀλλήλοις, ἐν μιᾷ ψυχῇ καὶ μιᾷ γνώμῃ πρὸς ὑμνῳδίαν Θεοῦ τὴν παναρμόνιον τῶν Χερουβεὶμ καὶ μεγαλόδοξον μιμούμεθα μελῳδίαν.

[00048] Ὥσπερ γὰρ ἐκεῖνα ἐκ διαδοχῆς ἓν τοῦ ἑνὸς παραλαμβάνοντα, τὸν τρισάγιον ᾄδουσιν ὕμνον·

[00049] οὕτω καὶ ἡμεῖς εἰς τὸν ἐκείνων τύπον δύο χοροὺς συστησάμενοι, καὶ ἀντιφωνοῦντες ἀλλήλοις, τὴν πνευματικὴν ᾄδομεν μελῳδίαν.

[00050] Θαῦμα τοῖς ἔξωθεν, ἐπιθυμητὸν τοῖς ὁρῶσι, καὶ πόθος τοῖς ἀκούουσιν ἐγγίνεται, καὶ θεία ἐνεργὴς αἴσθησις ἐν ἡμῖν εὑρίσκεται, δι' ἧς αἰσθα

[00051] [61.683] νόμεθα ἐκριζουμένων ἐξ ἡμῶν πάντων τῶν κακοτροπίας καὶ διαιρέσεως αἰτιῶν.

[00052] Πάντες δι' ἡμᾶς δοξάσουσι τὸν Θεὸν, πολιτείαν ἐπὶ γῆς ὁρῶντες οὐράνιον.

[00053] Διὰ τοῦτο πάντας ἡμᾶς ἓν φρονεῖν καὶ τὸ αὐτὸ λέγειν ὁ Παῦλος ἐδίδασκε·

[00054] διὰ τοῦτο Χριστὸς ἀποστέλλων συνδύο πέμπει τοὺς ἀποστόλους·

[00055] μέχρι καὶ γυναικῶν εἰσηγεῖται τὴν ὁμοφροσύνην, ἵνα μηδὲ τὸν τῶν παρθένων σύλλογον ἄμοιρον ταύτης τῆς ἀγγελικῆς μιμήσεως καταστήσῃ.

[00056] Διὰ τοῦτο λέγει.

[00057] Εὐοδίαν παρακαλῶ καὶ Συντύχην τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ.

[00058] Ἀλλήλους ὑπερέχοντας ἡγεῖσθαι κελεύει, πρὸς τὸ μὴ διαλύεσθαι τῇ φιλοτιμίᾳ, μᾶλλον δὲ τῇ κενοδοξίᾳ, ἀλλὰ τὴν τιμὴν παραχωροῦντες τῷ πλησίον ἑνοῦσθαι, καὶ συγκρίνεσθαι.

[00059] Σεμνὰ μὲν οὖν τὰ καθ' ἡμᾶς, καὶ ὡς ἀληθῶς ἐπικόσμια τὰ τῆς ἱερᾶς καὶ θείας ἀγάπης.

[00060] Ἴδωμεν δὲ καὶ τὰς ἐν τῷ νόμῳ διδασκαλίας.

[00061] Καὶ γὰρ αὗται συμφερόντως διδάσκουσιν.

[00062] Οὐχ ὑπερόψει, φησὶ, τὸν ἐνδεῆ, μεταδώσεις δὲ θλιβομένῳ·

[00063] ἀπολαύσει τῶν παρὰ σοὶ καρπῶν ὁ πένης, καὶ τοῦ θερισμοῦ τὰ λείψανα καὶ τοῦ τρυγητοῦ πρὸς τροφὴν ἕξει ὁ πένης·

[00064] ἑβδόμῳ δὲ ἔτει καὶ ὁ δοῦλος εἰς ἐλευθερίαν ἀφεθήσεται, πεντηκοστῷ δὲ ἔτει ἅπαν χρέως λυθήσεται·

[00065] καὶ οἱ πεπρακότες τὰς κτήσεις ἐπαναλήψονται, μὴ ἀποδώσαντες τὸ τίμημα.

[00066] Τόκον οὐκ ἀπαιτήσεις, οὐκ ἐνεχυράσεις μύλον οὐδὲ ἐπιμύλιον, οὐδὲ τοῦ πένητος ἐνεχυράσεις ἱμάτιον, οὐδὲ μὴ ἐπεισελεύσῃ βιαίως λαβεῖν ἐνέχυρον.

[00067] Οὐκ ἐγκαταλείψεις ὑποζύγιον τοῦ πλησίον σου, οὐδ' ἂν ἐχθρὸς τυγχάνῃ·

[00068] ἐπανάξεις δὲ αὐτῷ καὶ ζῶον πλανώμενον, ὑπηρέτης ὡς φίλῳ γενόμε [61.684] νος, καὶ διαλύων τὴν ἔχθραν ἐμπεσούσης προφάσεως.

[00069] Ταῦτα δὲ πάντα τὰ παραγγέλματα δι' οὐδὲν ἕτερον, ἀλλὰ διὰ τὴν ἱερὰν καὶ πολυπόθητον τῷ Θεῷ ἀγάπην καὶ γὰρ εἰς τοῦτο καὶ εὐαγγελικὰ παραγγέλματα κατατρέχει.

[00070] Μετὰ γὰρ τὸ πολλὰ εἰπεῖν πληρωτικὰ τοῦ νόμου, ἐπήγαγε·

[00071] Καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς.

[00072] Ἐν ἅπασι τὴν ἔχθραν καταλύων, καὶ τὴν ἀγάπην φυτεύων.

[00073] Χρέως ἔστω παρ' ὑμῖν τὸ ἀγαπᾷν ἀλλήλους μηδέποτε πληρούμενον·

[00074] φησὶ γὰρ ὁ Παῦλος, Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾷν.

[00075] Ὥσπερ γὰρ τὰς τροφὰς καθ' ἑκάστην ἐπιζητοῦμεν τὴν ἡμέραν,

[00076] Επιτρέπετα

[00077] καὶ οὐχὶ ἡ προλαβοῦσα χορτασία ἀποστήσει ἡμᾶς τοῦ μὴ καθ' ἑκάστην ἐπιζητεῖν τροφὰς, ἀλλὰ τοῦτο ἀπὸ τῆς φύσεως ἀπαιτούμενοι ὡς χρέως ὀφείλομεν·

[00078] οὕτω καὶ ἐπὶ τῆς ἀγάπης τὸν αὐτὸν τύπον φυλάξωμεν.

[00079] Οὐ πλησθήσεται, φησὶν, ὀφθαλμὸς τοῦ ὁρᾷν, καὶ οὖς τοῦ ἀκούειν.

[00080] Γλυκὺ τοῖς ὀφθαλμοῖς τὸ φῶς, καὶ οὐδεὶς ἔκαμεν ὁρῶν τῷ ὀφθαλμῷ, καὶ οὐδεὶς ἔκαμεν ἀκούων τοῖς ὠσίν·

[00081] οὕτω καὶ τὸ τῆς ἀγάπης ἐράσμιον ἔργον ἀόκνως ἐπιτελεῖν ὀφείλομεν, καὶ οὐδέποτε κορέννυσθαι.

[00082] Ὕδωρ γὰρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην·

[00083] Μένει γὰρ, φησὶ, τὰ τρία ταῦτα, πίστις, ἐλπὶς, ἀγάπη.

[00084] Ὥσπερ γὰρ ἦν ἀπ' ἀρχῆς, οὕτω καὶ εἰς αἰῶνα φυλαχθήσεται·

[00085] ἧ ἐξακολουθοῦντας ἡμᾶς γένοιτο τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00086] Ἀμήν.

[00087] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - Caritatem secundum deum rem esse deo digna**
**Litterarum Omnium Conspectus: 119 Litterae, quae repetitae sunt in 6,185 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 410 | Α | 0913 | 0 |
| β | 0946 | 19 | Β | 0914 | 0 |
| γ | 0947 | 133 | Γ | 0915 | 1 |

| | | | | | |
|---|---|---|---|---|---|
| δ | 0948 | 106 | Δ | 0916 | 0 |
| ε | 0949 | 338 | Ε | 0917 | 6 |
| ζ | 0950 | 10 | Ζ | 0918 | 0 |
| η | 0951 | 115 | Η | 0919 | 0 |
| θ | 0952 | 78 | Θ | 0920 | 13 |
| ι | 0953 | 260 | Ι | 0921 | 0 |
| κ | 0954 | 179 | Κ | 0922 | 8 |
| λ | 0955 | 187 | Λ | 0923 | 1 |
| μ | 0956 | 192 | Μ | 0924 | 4 |
| ν | 0957 | 506 | Ν | 0925 | 0 |
| ξ | 0958 | 20 | Ξ | 0926 | 0 |
| ο | 0959 | 422 | Ο | 0927 | 5 |
| π | 0960 | 239 | Π | 0928 | 14 |
| ρ | 0961 | 235 | Ρ | 0929 | 0 |
| ς | 0962 | 256 | • | 0930 | 0 |
| σ | 0963 | 192 | Σ | 0931 | 2 |
| τ | 0964 | 436 | Τ | 0932 | 7 |
| υ | 0965 | 106 | Υ | 0933 | 1 |
| φ | 0966 | 67 | Φ | 0934 | 0 |
| χ | 0967 | 39 | Χ | 0935 | 8 |
| ψ | 0968 | 8 | Ψ | 0936 | 0 |
| ω | 0969 | 69 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 1 | | | 0 |
| ῥ | 8165 | 1 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 85 | έ | 8051 | 68 | ή | 8053 | 41 | ί | 8055 | 93 | ό | 8057 | 49 | ύ | 8059 | 59 | ώ | 8061 | 15 |
| ὰ | 8048 | 69 | ὲ | 8050 | 34 | ὴ | 80852 | 41 | ὶ | 8054 | 99 | ὸ | 8056 | 69 | ὺ | 8058 | 13 | ὼ | 8060 | 1 |
| ᾶ | 8118 | 13 | | | 0 | ῆ | 8134 | 29 | ῖ | 8150 | 44 | | | 0 | ῦ | 8166 | 71 | ῶ | 8182 | 41 |
| ἀ | 7936 | 95 | ἐ | 7952 | 76 | ἠ | 7968 | 1 | ἰ | 7984 | 34 | ὀ | 8000 | 9 | ὐ | 8016 | 55 | ὠ | 8032 | 2 |
| ἄ | 7937 | 13 | ἔ | 7953 | 16 | ἤ | 7969 | 30 | ἴ | 7985 | 6 | ὄ | 8001 | 23 | ὔ | 8017 | 15 | ὤ | 8033 | 6 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 0 | ἢ | 7970 | 3 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 1 |
| ἆ | 7939 | 0 | ἐ͂ | 7955 | 4 | ἦ | 7971 | 0 | ἶ | 7987 | 0 | ὀ͂ | 8003 | 0 | ὖ | 8019 | 0 | ὦ | 8035 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἄ | 7940 | 5 | ἔ | 7956 | 18 | ἤ | 7972 | 0 | ἴ | 7988 | 1 | ὄ | 8004 | 1 | ὔ | 8020 | 1 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 2 | ἕ | 7957 | 4 | ἥ | 7973 | 0 | ἵ | 7989 | 3 | ὅ | 8005 | 4 | ὕ | 8021 | 10 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 1 | ἶ | 7990 | 2 | | | 0 | ὖ | 8022 | 5 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 3 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 2 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 1 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 2 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 1 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 4 | | | 0 | ῃ | 8131 | 7 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 16 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 7 | | | 0 | ῇ | 8135 | 6 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 21 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - Caritatem secundum deum rem esse deo digna**
**Verborum Omnium Conspectus: 639Verba, quae repetita sunt in 818,064 occasionibus**

---

**ἀγαθὴν** [00011]
**ἀγαθῶν** [00085]
**ἀγαπᾷ** [00030]
**ἀγαπᾷν** [00073] [00074]
**ἀγαπᾷς** [00032]
**ἀγάπῃ** [00039]
**ἀγάπη** [00001] [00003] [00013] [00014] [00016] [00018] [00019] [00022] [00026] [00029] [00083]
**Ἀγάπη** [00003] [00029]
**ἀγάπην** [00005] [00012] [00014] [00016] [00021] [00033] [00069] [00072] [00082]
**Ἀγάπην** [00002]
**ἀγάπης** [00017] [00036] [00059] [00078] [00081]
**ἀγαπῶν** [00030]
**ἀγγελικῆς** [00055]
**ἄγγελοι** [00026]
**Ἄγγελοι** [00045]
**ἀγγέλους** [00007]
**ἁγίας** [00011]
**ἁγιάσματι** [00012]
**ἁγίου** [00007] [00011] [00041]
**ἁγίων** [00036]
**ἀδελφὸν** [00030]
**ἀδελφὸς** [00026]
**ἀδελφοὺς** [00043]
**ἀδελφῷ** [00026]
**ἀδελφῶν** [00029]
**ᾄδομεν** [00049]
**ᾄδουσιν** [00048]
**αἰσθα** [00050]
**αἴσθησις** [00050]
**αἰτιῶν** [00051]
**αἰῶνα** [00084]
**αἰῶνας** [00085]
**αἰωνίων** [00085]
**αἰῶνος** [00047]
**αἰώνων** [00085]
**Ἄκουε** [00041]
**ἀκούειν** [00079]
**ἀκούουσιν** [00050]
**ἀκούων** [00080]
**ἀληθῶς** [00059]
**ἀλλ** [00012] [00043]

**ἀλλὰ** [00009] [00058] [00069] [00077]
**ἀλλήλοις** [00017] [00039] [00047] [00049]
**ἀλλήλους** [00026] [00073] [00074]
**Ἀλλήλους** [00058]
**ἀλλήλων** [00016]
**ἄλλο** [00043]
**ἁμαρτήματα** [00019]
**ἁμαρτωλῷ** [00046]
**ἀμβλύνει** [00022]
**Ἀμήν** [00086]
**ἄμοιρον** [00055]
**ἂν** [00067]
**Ἀνατελεῖ** [00024]
**ἄνεσιν** [00028]
**ἀνθρώποις** [00012] [00026] [00026] [00026]
**ἀνθρώπους** [00007] [00012]
**ἀνθρώπων** [00007] [00012]
**ἀνταναιρεθῇ** [00024]
**ἀντιφωνοῦντες** [00049]
**ἀξίαν** [00002]
**ἄξιον** [00011]
**ἀόκνως** [00081]
**ἀπ** [00009] [00084]
**ἀπαιτήσεις** [00066]
**ἀπαιτούμενοι** [00077]
**ἀπαλλοτριουμένοις** [00009]
**ἅπαν** [00064]
**ἁπάντων** [00018] [00022]
**ἅπασι** [00072]
**ἀπελαύνουσα** [00026]
**ἀπεντεῦθεν** [00047]
**ἀπηλλοτριωμένα** [00013]
**ἀποδώσαντες** [00065]
**ἀποκρύφῳ** [00012]
**ἀπολαύσει** [00063]
**ἀποστέλλει** [00014]
**ἀποστέλλων** [00054]
**ἀποστήσει** [00077]
**ἀποστόλους** [00054]
**ἀποτρέπον** [00036]
**ἀρίστης** [00005]
**ἁρμονίαις** [00036]
**ἁρμονίαν** [00010] [00039]
**ἀῤῥαγὲς** [00036]
**ἀρχηγὸς** [00026]
**ἀρχῆς** [00084]
**αὐξάνεται** [00021]
**αὗται** [00061]
**αὕτη** [00006] [00007] [00040]
**αὐτῆς** [00015]
**αὐτὸ** [00005] [00053] [00057]
**αὐτό** [00043]
**αὐτὸν** [00078]
**αὐτοῦ** [00009] [00009] [00014] [00024] [00030]
**αὐτῷ** [00068]
**αὐτῶν** [00045]
**ἀφεθήσεται** [00064]
**ἀφωρισμένῳ** [00012]
**ἀχώριστα** [00029]

**βιαίως** [00066]
**βόσκε** [00032]

**γὰρ** [00006] [00008] [00015] [00017] [00023] [00031] [00038] [00040] [00046] [00047] [00048] [00061] [00069] [00070] [00074] [00075] [00082] [00083] [00084]
**γενησομένοις** [00009]
**γένοιτο** [00085]
**γενόμε** [00068]
**γῆς** [00012] [00043] [00052]
**γίνεται** [00046]
**Γλυκὺ** [00080]
**γλῶττα** [00004]
**γνώμῃ** [00047]
**γοῦν** [00027]
**γυναικῶν** [00055]

**δαίμονα** [00026]
**δαιμόνων** [00047]
**Δαυῒδ** [00041]
**δὲ** [00005] [00020] [00025] [00026] [00028] [00037] [00039] [00041] [00058] [00060] [00062] [00064] [00064] [00068] [00069]
**δεικνύει** [00005] [00019]
**Δεῖξον** [00033]
**δεσμοῖς** [00036]
**δημιουργίᾳ** [00006]
**Δημιουργῷ** [00011]
**Δι** [00014] [00021]
**δι** [00016] [00026] [00050] [00052] [00069]
**Διὰ** [00012] [00017] [00024] [00053] [00056]
**διὰ** [00011] [00035] [00054] [00069]
**διάβολος** [00026]
**διαβόλου** [00036]
**διαβόλῳ** [00047]
**διαγωγὴν** [00045]
**διαδοχῆς** [00048]
**διαιρέσεως** [00051]
**διαλύεσθαι** [00058]
**διαλύων** [00068]
**διάφορα** [00011]
**διδασκαλίας** [00060]
**διδάσκουσιν** [00061]
**διεστῶτα** [00013]
**δικαιοσύνη** [00024]
**δόξα** [00085]
**δοξάσαι** [00004]
**δοξάσουσι** [00052]
**δουλεύετε** [00017]
**δοῦλοι** [00016]
**δοῦλος** [00064]
**δύναται** [00002]
**δυνήσεται** [00082]
**δύο** [00029] [00049]

**ἑαυτοῖς** [00010]
**ἑαυτὸν** [00015] [00019]
**ἑαυτοῦ** [00019]
**ἑαυτῶν** [00026]
**ἑβδόμῳ** [00064]
**ἐγγίνεται** [00050]
**ἐγκαταλείψεις** [00067]
**ἐδίδασκε** [00053]
**ἔθνος** [00023] [00023]
**Εἰ** [00032] [00046]
**εἰ** [00074]
**εἰκόνα** [00026]
**εἶναι** [00016]
**εἶπε** [00031]
**εἰπεῖν** [00070]
**εἰρήνης** [00024] [00026] [00026]
**εἰρηνικὴν** [00022]
**εἰρηνικῆς** [00025]
**εἰρηνικοῖς** [00026]
**εἰς** [00007] [00008] [00010] [00012] [00012] [00014] [00049] [00064] [00069] [00084] [00085]
**εἰσάγει** [00022]
**εἰσηγεῖται** [00055]
**ἐκ** [00048]
**ἔκαμεν** [00080] [00080]
**ἑκάστην** [00075] [00077]
**ἑκάστου** [00018]
**ἐκεῖνα** [00048]
**ἐκείνων** [00049]
**ἐκκενωθὲν** [00044]
**Ἐκκλησίαν** [00015]
**ἐκριζουμένων** [00051]
**ἐκφαίνει** [00011]
**ἐκφαίνουσιν** [00010]
**ἐλευθερίαν** [00064]
**ἐλπὶς** [00083]
**ἐμπεσούσης** [00068]
**ἐν** [00012] [00024] [00026] [00026] [00037] [00039] [00040] [00046] [00047] [00050] [00057] [00060] [00085]
**ἓν** [00012] [00012] [00048] [00053]
**Ἐν** [00072]
**ἐνδεῆ** [00062]
**ἐνεργήματα** [00011]
**ἐνεργὴς** [00050]
**ἐνεχυράσεις** [00066] [00066]
**ἐνέχυρον** [00066]
**ἑνὶ** [00046]
**ἑνὸς** [00007] [00012] [00018] [00048]
**ἑνότητα** [00007]
**ἑνοῦσθαι** [00058]
**ἐντίθησιν** [00022]
**ἔντιμος** [00040]
**ἐντολὴν** [00030]
**ἐξ** [00051]
**ἐξακολουθοῦντας** [00085]
**ἕξει** [00063]
**ἐξεικονίζουσα** [00007]
**ἐξευρήσει** [00004]
**ἔξωθεν** [00050]
**ἐπ** [00026]
**ἐπαναλήψονται** [00065]
**ἐπανάξεις** [00068]
**ἐπαναπαύεται** [00009]
**ἐπαξίως** [00004]
**ἐπαρκέσει** [00004]
**ἐπεισελεύση** [00066]
**ἐπήγαγε** [00070]
**ἐπηρεαζόντων** [00071]
**ἐπὶ** [00012] [00023] [00027] [00027] [00043] [00043] [00044] [00046] [00052] [00078]
**ἐπίγεια** [00003]
**ἐπιζητεῖν** [00077]
**ἐπιζητοῦμεν** [00075]
**ἐπιθυμητὸν** [00050]
**ἐπικόσμια** [00059]
**ἐπιμύλιον** [00066]
**ἐπιτελεῖν** [00081]
**Επιτρέπετα** [00034] [00076] [00087]
**ἐπιτυχεῖν** [00085]
**ἐράσμιον** [00081]
**ἐργάζεται** [00018]
**ἔργον** [00001] [00005] [00014] [00081]
**ἐσμεν** [00026]
**ἐστί** [00001]
**ἐστιν** [00003]
**ἔστω** [00073]
**ἔτει** [00064] [00064]
**ἕτερον** [00043] [00069]
**ἔτι** [00023]
**εὐαγγελικὰ** [00069]
**εὐάρμοστος** [00037]
**εὐθυμίας** [00026]
**εὐμεγεθῶν** [00036]
**Εὐοδίαν** [00057]
**εὐπρεπεῖ** [00037]
**εὐπρέπεια** [00037] [00039]
**εὐπρέπειαν** [00006]
**εὑρίσκεται** [00050]
**εὐφραίνονται** [00045]
**εὐφροσύνη** [00047]
**εὐφροσύνης** [00011]
**ἐφ** [00010] [00045] [00046]
**ἐφόδους** [00036]
**ἔχει** [00028]
**ἔχθραν** [00068] [00072]
**ἐχθρὸν** [00026]
**ἐχθρὸς** [00067]
**ἔχομεν** [00030]
**ἕως** [00024]

**ζῶον** [00068]

**ἡ** [00001] [00007] [00013] [00014] [00021] [00024] [00026] [00039] [00077] [00085]

**ἣ** [00037] [00042] [00043]
**Ἡ** [00047]
**ᾗ** [00085]
**ἠγάπησε** [00015]
**ἡγεῖσθαι** [00058]
**ἡγεμόνα** [00005]
**ἡδέως** [00016]
**ἡδύτερον** [00039]
**ἡμᾶς** [00052] [00053] [00059] [00077] [00085]
**ἡμεῖς** [00026] [00049]
**ἡμέραις** [00024]
**ἡμέραν** [00075]
**ἡμετέραν** [00012]
**ἡμετέρους** [00045]
**ἡμῖν** [00045] [00050]
**ἡμῶν** [00051] [00085]
**ἦν** [00084]
**ἡρμοσμένον** [00036]
**ἧς** [00004] [00026] [00050]

**Θαῦμα** [00050]
**θαυμάσιον** [00014]
**θεία** [00013] [00050]
**θείας** [00059]
**θεοειδέστατον** [00011]
**Θεὸν** [00001] [00030] [00052]
**θεοπρεπὲς** [00001]
**θεοπρεπέστατον** [00011]
**Θεὸς** [00012] [00014]
**Θεοῦ** [00006] [00008] [00029] [00030] [00047]
**θερισμοῦ** [00063]
**Θεῷ** [00011] [00069]
**θλιβομένῳ** [00062]
**θλίψεσι** [00027]
**θυμοὺς** [00022]

**ἰδίας** [00018]
**Ἰδοὺ** [00042]
**Ἴδωμεν** [00060]
**ἱερὰν** [00069]
**ἱερᾶς** [00059]
**Ἰησοῦ** [00085]
**ἱμάτιον** [00066]
**ἵνα** [00012] [00030] [00055]
**Ἰωάννης** [00030]

**καθ** [00059] [00075] [00077]
**καθάπερ** [00012]
**κακοτροπίας** [00051]
**κάλλιστόν** [00010]
**κάλλος** [00011]
**κάλλους** [00007]
**καλὸν** [00042]
**Καλῶς** [00071]
**καρπῶν** [00063]
**κατ** [00002]
**καταβέβηκεν** [00012]
**καταλύων** [00072]
**κατασκευάσῃ** [00012]
**καταστήσῃ** [00055]
**κατατρέχει** [00069]
**κατελθὼν** [00012]
**κατοικεῖν** [00043]
**κελεύει** [00058]
**κελευόμεθα** [00016]
**κενοδοξίᾳ** [00058]
**κεφαλήν** [00044]
**κοινὰς** [00018]
**κορέννυσθαι** [00081]
**κόσμον** [00014]
**κόσμου** [00014]
**κόσμῳ** [00022] [00037]
**κράτος** [00085]
**κτήσεις** [00018] [00065]
**Κυρίου** [00013] [00040] [00046]
**Κυρίῳ** [00057] [00085]

**λαβεῖν** [00066]
**Λαμπρὸς** [00025]
**λέγει** [00056]
**λέγειν** [00053]
**λείψανα** [00063]
**λήθην** [00022]
**λήψεται** [00023]
**λίθων** [00036]
**λικμητήριον** [00047]
**λογικὴν** [00008]
**λόγον** [00046]
**λόγος** [00002]
**λυθήσεται** [00064]

**μάθωσιν** [00023]
**μακαρίας** [00026]
**μακροθυμήσεις** [00020]
**μᾶλλον** [00041] [00046] [00058]
**μάχαιραν** [00023]
**με** [00032]
**μεγαλόδοξον** [00047]
**μεῖζον** [00026]
**μέλλοντος** [00047]
**μελῳδίαν** [00047] [00049]
**μὲν** [00010] [00020] [00026] [00047] [00059]
**Μένει** [00083]
**μεταδώσεις** [00062]
**μετανοοῦντι** [00046]
**μέχρι** [00055]
**μηδὲ** [00055]

**μηδὲν** [00074]
**Μηδενὶ** [00074]
**μηδέποτε** [00073]
**Μία** [00008]
**μιᾷ** [00047] [00047]
**μίαν** [00010] [00011]
**μιμήσεως** [00055]
**μιμούμεθα** [00045] [00047]
**μισοῦσιν** [00071]
**μονογενῆ** [00014]
**μορφὴ** [00008]
**μορφοῖ** [00008]
**μου** [00032]
**μύλον** [00066]
**μύρον** [00044]
**μυστήριον** [00014]

**νενευκότες** [00010]
**νόμεθα** [00051]
**νόμου** [00070]
**νόμῳ** [00060]
**νος** [00068]
**νοῦς** [00004]

**ὁ** [00012] [00014] [00025] [00026] [00027] [00030] [00030] [00053] [00063] [00063] [00064] [00074]
**Ὁ** [00015]
**οἱ** [00010] [00065]
**οἰκειοῖ** [00013]
**οἰκειότητα** [00012]
**οἷον** [00036]
**Ὀλίγα** [00020]
**ὁμοιότητα** [00007] [00008] [00012]
**ὁμόσκηνος** [00012]
**ὁμοφροσύνην** [00011] [00055]
**ὄντες** [00010]
**ὅπλα** [00022]
**ὁρᾷν** [00079]
**ὀργισθήσῃ** [00020]
**ὁρῶν** [00080]
**ὁρῶντες** [00026] [00052]
**ὁρῶσι** [00050]
**ὅτε** [00028] [00047]
**ὅτι** [00045]
**Ὅτι** [00001]
**Οὐ** [00023] [00079]
**οὐ** [00009] [00023] [00028] [00082]
**οὗ** [00024]
**οὐδ** [00067]
**οὐδὲ** [00066] [00066] [00066]
**οὐδεὶς** [00002] [00080] [00080]
**οὐδὲν** [00043] [00043] [00069]
**οὐδέποτε** [00081]
**Οὐκ** [00067]
**οὐκ** [00004] [00012] [00028] [00066] [00066]
**οὖν** [00059]
**οὐράνια** [00003]
**οὐράνιον** [00052]
**οὐρανοκλίμακα** [00002]
**οὐρανῷ** [00046]
**οὗς** [00079]
**οὖσα** [00008] [00013]
**οὖσαν** [00005]
**οὔτε** [00004]
**Οὕτω** [00011]
**οὕτω** [00036] [00049] [00078] [00081] [00084]
**Οὐχ** [00062]
**οὐχὶ** [00077]
**ὀφείλετε** [00074]
**ὀφείλομεν** [00077] [00081]
**ὀφθαλμοῖς** [00040] [00080]
**ὀφθαλμὸς** [00079]
**ὀφθαλμῷ** [00080]
**ὀφθεὶς** [00026]

**παιδαγωγὸς** [00007]
**παναρμόνιον** [00047]
**πάντα** [00069]
**πάντας** [00012] [00053]
**Πάντες** [00052]
**πάντες** [00010]
**πάντων** [00039] [00051]
**παρ** [00073]
**παρὰ** [00011] [00030] [00063]
**παραγγέλματα** [00069] [00069]
**Παρακαλεῖσθαι** [00027]
**παρακαλῶ** [00057]
**παραλαμβάνοντα** [00048]
**παραχωροῦντες** [00058]
**παρέδωκεν** [00015]
**πάρεστιν** [00028]
**παρέχει** [00038]
**παρθένων** [00055]
**παρουσίᾳ** [00027]
**πᾶσαν** [00008]
**πάσης** [00026]
**Πατὴρ** [00014]
**Πατρὸς** [00003]
**Παῦλος** [00027] [00053] [00074]
**πείρας** [00036]
**πέμπει** [00054]
**πένης** [00063] [00063]
**πένητος** [00066]
**πένθος** [00047]
**πεντηκοστῷ** [00064]
**πεπρακότες** [00065]
**περὶ** [00004]
**περιβάλλει** [00006]
**περιχορεύουσι** [00045]
**Πέτρῳ** [00031]
**πεφυτευμένων** [00037]

**πίστις** [00083]
**πλανώμενον** [00068]
**Πλείους** [00010]
**πλεῖστα** [00020]
**πλήθει** [00046]
**πλήθη** [00007]
**πλῆθος** [00024]
**πληρούμενον** [00073]
**πληρωτικὰ** [00070]
**πλησθήσεται** [00079]
**πλησίον** [00016] [00019] [00058] [00067]
**πνεῦμα** [00012]
**πνεύματι** [00028]
**πνευματικὴν** [00049]
**Πνεύματος** [00011] [00012] [00013] [00041]
**πόθος** [00050]
**ποιεῖτε** [00071]
**ποιμένα** [00033]
**ποίμνη** [00021]
**Ποῖον** [00036]
**πολεμεῖν** [00023]
**πολέμιον** [00026]
**πολεμίων** [00022] [00022] [00036]
**πολιτείαν** [00022] [00052]
**πολιτείας** [00005] [00025]
**πολλὰ** [00011] [00070]
**πολλῷ** [00046]
**πολλῶν** [00007]
**πολὺ** [00082]
**πολυπόθητον** [00069]
**πόνους** [00016]
**πραΰνει** [00022]
**πρόβατά** [00032]
**προβάτων** [00035]
**προλαβοῦσα** [00077]
**προνοούμενος** [00035]
**πρὸς** [00003] [00007] [00011] [00012] [00026] [00033] [00047] [00058] [00063]
**προσαγόμενος** [00012]
**προσεύχεσθε** [00071]
**προσκυνούμενος** [00012]
**πρότερον** [00012]
**προφάσεως** [00068]
**προϊοῦσα** [00037]

**σβέσαι** [00082]
**σελήνη** [00024]
**Σεμνὰ** [00059]
**σεμνὴ** [00040]
**σοὶ** [00063]
**σοι** [00019]
**σου** [00067]
**σπουδῆς** [00035]
**στένει** [00026]
**στίχον** [00037]
**στρατιᾶς** [00037]
**συγκεκραμένοις** [00009]
**συγκρίνεσθαι** [00058]
**σύλλογον** [00055]
**συμφερόντως** [00061]
**συμφωνίαν** [00010]
**συνάγει** [00013]
**συναγόμενα** [00011]
**συνανεστράφη** [00012]
**συνάπτει** [00003]
**συνδιατριβὴν** [00012]
**συνδύο** [00054]
**συνεστήκαμεν** [00047]
**συνήδονται** [00026]
**συνηρμοσμένων** [00039]
**σύνθρονός** [00003]
**σύνταξις** [00037]
**Συντύχην** [00057]
**σύστημα** [00036]
**συστησάμενοι** [00049]
**σωζομένων** [00046]
**σῶμα** [00012]
**σωτηρίας** [00014]

**τὰ** [00003] [00003] [00007] [00011] [00013] [00013] [00019] [00032] [00059] [00059] [00063] [00069] [00083]
**ταῖς** [00024] [00027]
**τάξει** [00037]
**τὰς** [00018] [00036] [00060] [00065] [00075]
**Ταῦτα** [00038] [00069]
**ταῦτα** [00083]
**ταύτην** [00030]
**ταύτης** [00055]
**τεῖχος** [00036]
**τελείαν** [00006]
**τερπνὸν** [00010]
**τερπνόν** [00042]
**τερπνότερον** [00039]
**τέρψιν** [00038]
**Τῇ** [00006]
**τῇ** [00027] [00058] [00058]
**τὴν** [00002] [00005] [00008] [00012] [00012] [00012] [00015] [00022] [00033] [00039] [00045] [00047] [00049] [00055] [00058] [00068] [00069] [00072] [00072] [00075] [00082]
**τῆς** [00005] [00011] [00011] [00012] [00017] [00025] [00026] [00026] [00036] [00041] [00043] [00055] [00059] [00077] [00078] [00081]
**τί** [00042] [00042] [00042]
**τι** [00010]
**τίμημα** [00065]
**τιμὴν** [00058]
**τιμιώτατον** [00011]
**τίς** [00037]
**Τίτου** [00027]
**τὸ** [00005] [00043] [00043] [00053] [00057] [00058] [00065] [00070] [00073] [00074] [00080] [00081] [00085]
**τοιαύτη** [00037]
**τοῖς** [00009] [00009] [00036] [00050] [00050] [00050] [00071] [00080] [00080]
**Τόκον** [00066]
**τὸν** [00014] [00014] [00014] [00019] [00026] [00030] [00030] [00033] [00046] [00048] [00049] [00052] [00055] [00062] [00078]
**τοσούτῳ** [00046]
**τοῦ** [00003] [00006] [00007] [00007] [00008] [00011] [00013] [00013] [00016] [00021] [00030] [00036] [00041] [00041] [00046] [00047] [00048] [00063] [00063] [00066] [00067] [00070] [00077] [00079] [00079]
**τοὺς** [00016] [00045] [00054] [00085]
**Τουτέστι** [00033]

**Τοῦτο** [00031]
**τοῦτο** [00024] [00053] [00054] [00056] [00069] [00077]
**τρία** [00083]
**τρισάγιον** [00048]
**τροφὰς** [00075] [00077]
**τροφὴν** [00063]
**τρυγητοῦ** [00063]
**τυγχάνη** [00067]
**τύπον** [00049] [00078]
**τύπος** [00025]
**τῷ** [00011] [00022] [00028] [00031] [00047] [00058] [00060] [00069] [00080] [00085]
**τῶν** [00007] [00007] [00012] [00035] [00039] [00043] [00047] [00051] [00055] [00063] [00071] [00085] [00085]

**Ὕδωρ** [00082]
**Υἱὸν** [00014]
**ὑμᾶς** [00071] [00071]
**ὑμῖν** [00073]
**ὑμνῆσαι** [00002]
**ὕμνον** [00048]
**ὑμνῳδίαν** [00047]
**ὑπ** [00009]
**ὑπὲρ** [00015] [00016] [00071]
**ὑπερέχοντας** [00058]
**ὑπερόψει** [00062]
**ὑπηρέτης** [00068]
**Ὑπηρέτις** [00013]
**ὑποζύγιον** [00067]
**ὑπουργὸς** [00013]

**φαιδροὶ** [00026]
**φαίνεται** [00040] [00047]
**φέρει** [00016] [00019]
**φησὶ** [00062] [00074] [00083]
**φησι** [00042]
**φησὶν** [00015] [00024] [00027] [00030] [00079]
**φιλοτιμίᾳ** [00058]
**φίλῳ** [00068]
**φονικοὺς** [00022]
**φρονεῖν** [00053] [00057]
**φυλάξωμεν** [00078]
**φυλαχθήσεται** [00084]
**φύσεως** [00077]
**φυσικὴν** [00039]
**φύσιν** [00008]
**φυτεύων** [00072]
**φυτῶν** [00037]
**φῶς** [00080]

**χαρὰ** [00046]
**χάριτος** [00041]
**Χερουβεὶμ** [00047]
**χοροὺς** [00045] [00047] [00049]
**χορτασία** [00077]
**Χρέως** [00073]
**χρέως** [00064] [00077]
**Χριστὸς** [00015] [00054]
**Χριστοῦ** [00014] [00021] [00022]
**Χριστῷ** [00085]

**ψυχῇ** [00047]

**ὢ** [00014]
**Ὢ** [00014] [00026]
**ᾧ** [00085]
**ὡς** [00019] [00019] [00044] [00059] [00068] [00077]
**ὠσίν** [00080]
**ὥσπερ** [00012]
**Ὥσπερ** [00048] [00075] [00084]
**ὠχυρωμένον** [00036]